βολοῦ.] τοῖς εὐώνοις τοῖς Ἀθηναίοις. οὕτω γὰρ λέγεται ἐπὶ τῶν πολλῶν τοῦ ὀβολοῦ πωλουμένων. Ἐσκορόδισας] ἠκίδισας καὶ ἐπίκρανας. ἢ ἐδείμυξας. ἢ κλαῦσαι πεποίηκας. ἢ ἀπὸ τῶν τὰ σκόροδα τελούντων. Ἐμοὶ ταμιεύσεις] ὡς A οὐκέτι ἐπιμελήσῃ τῶν ἐμῶν χρημάτων, οὐδὲ ταμίας μοι ἔσῃ. τουτέστι διοικήσεις τὰ πρυτανεῖα. Ἐμοῦ πανουργότερος.] ἑαυτὸν διαβάλλει ὁ Κλέων, ἐκείνῳ φόβον ἐπιφέρειν βουλόμενος. ὁ δακτύλιος δὲ ὃν ἐφόρει, τῆς ἀρχῆς ὄντα σημεῖον.

Δη. Δημοῦ βοείου θεῖον ἐξωπτημένον.
Αλ. Οὐ τοῦτό γ᾽ ἐστὶν οὐ τὸ θεῖον. Δη. ἀλλὰ τί;
Αλ. Λάρος κεχηνὼς ἐπὶ πέτρας δημηγορῶν. B
Δη. Αἰβοῖ τάλας. Αλ. τί ἐστι; Δη. ἀπόφερ᾽ ἐκποδών,
Οὐ τὸν ἐμὸν εἶχεν, ἀλλὰ τὸν Κλεωνύμου.
Παρ᾽ ἐμοῦ δὲ τουτονὶ λαβὼν ταμίευέ μοι.
Κλ. Μὴ δῆτα πῶ γ᾽ ὦ δέσποτ᾽, ἀντιβολῶ σ᾽ ἐγώ,
Πρὶν ἄν γε τῶν χρησμῶν ἀκούσῃς τῶν ἐμῶν.
Αλ. Καὶ τῶν ἐμῶν νυν. Κλ. ἀλλ᾽ ἐὰν τούτῳ πίθῃ, C
Μολγὸν γενέσθαι δεῖ σε. Αλ. κἂν γε τουτῳί,
Ψωλὸν γενέσθαι δεῖ σε μέχρι τῶν μυρρίνων.
Κλ. Ἀλλ᾽ οἵ γ᾽ ἐμοὶ λέγουσιν, ὡς ἄρξαι σε δεῖ
Χώρας ἁπάσης ἐστεφανωμένον ῥόδοις.
Αλ. Οἱ ᾽μοὶ δέ γ᾽ αὖ λέγουσιν, ὡς ἁλουργίδα D
Ἔχων κατάπαστον, καὶ στεφάνην, ἐφ᾽ ἅρματος
Χρυσοῦ διώξεις Σμικύθην, καὶ κύριον.
Κλ. Καὶ μὴν ἔνεγκ᾽ αὐτοὺς ἰὼν, ἵν᾽ οὑτοσὶ
Αὐτῶν ἀκούσῃ. Αλ. πάνυ γε. Δη. καὶ σὺ δὴ φέρε.
Κλ. Ἰδού. Αλ. ἰδού. Δη. νὴ τὸν Δί᾽ οὐδὲν κωλύει. E

*PO. Bubulæ adipis assatum folium ficulneum.*
*AG. Non hoc ficulneum est folium. PO. quid ergo inest?*
*AG. Larus inhians prædæ, qui è petra verba dat*
*Pro concione. PO. Hei me miserum. AG. quid rei est? cedò.*
*PO. Procul aufer. neque enim meum habet, sed Cleonymi.*
*Tu verò hunc à me habe, & quæsturam suscipe.*
*CL. Istuc ne faxis, mi Domine, quæso: antequam*
*Audiueris, qualia mihi sint oracula.*
*AG. Et qualia mihi sint. CL. at si huic obtemperes,*
*Peculatorem oportet te fieri. AG. & si huic,*
*Herniosum te fieri oportet vsque ad caput.*
*CL. Atqui mea dicunt oracula, quod oporteat*
*Te imperio totius terræ potirier,*
*Rosis coronatum. AG. mea vicissim mihi*
*Dicunt quòd tu trabeatus, & serto micans*
*In aureo curru insequeris Smicytham,*
*Et Dominum. CL. quin abis, & huc affers tua*
*Oracula, vt populus illa audiat. AG. admodum.*
*PO. Et tu feras tua. CL. ecce in promtu sunt mihi.*
*AG. Ecce & mea. PO. Per Iouem, iam nihil est in mora.*

Σχόλια. Δημοῦ βοείου.] παρὰ τὸν δῆμον ἐποίησε δημὸν ὀξυτόνως. ἐπειδὴ τῷ θρίῳ περιβάλλοντες τὸ λίπος, ὤπτων. θρίον δὲ, τὸ τῆς συκῆς φύλλον. ὀλίγον οὖν δεῖ τῷ τόνῳ παρεγκλίνειν τὸ ὄνομα. λέγει δὲ καὶ ταῦτα. ἐπειδὴ ὡς ἀναίσθητον διαβάλλει τὸν δῆμον. ἄλλως. λίπους βοείου. ταῦτα δὲ εἰς ἀναισθησίαν τοῦ δήμου, καὶ ἐν Σφηξὶν, ἴστη βόειον δημόν. θρίον δὲ σκεύασμά τι μετ᾽ ἐγκεφάλου γινόμενον.

Bisetvs. Δημοῦ] Δῆμος προπερισπωμένως, τὸ πλῆθος τῶν ἀνθρώπων, τὸ πολιτικὸν κατάστημα. ὅθεν τὸ δημοκρατεῖσθαι. δημὸς δὲ ὀξυτόνως, ἡ κνίσσα, ἐπίπλους, τουτέστι τὸ λίπος. F

Σχόλια. Θεῖον.] χόνδρος ἢ ὄρυζα ἕψεται. ἢ σεμίδαλις ἀρκούντως. εἶτα ἀποχεῖται τὸ ὕδωρ, καὶ φυρᾶται τὸ ἑψημένον μετ᾽ ἁπαλοῦ τυροῦ καὶ ὠῶν ὀλίγων εἶτα περιλαμβάνεται φύλλοις συκίνοις ὅλως, καὶ περιειλεῖται καννάβῳ ἢ παπύρῳ, ἢ λίνῳ. καὶ καθίεται εἰς ζωμὸν κρεῶν ἑψημένων, ἄχρι τοῦ λαβεῖν ἱκανὴν ἕψησιν. εἶτα ἐπαίρεται ἐκ τῶν ἄλλων περιαιρεθέντων, καὶ εἰς λοπάδα νέαν ζέοντος μέλιτος ἐμβάλλεται καὶ ἕψεται. στρεφόμενον δὲ, ὅτε ἱκανῶς ἔχον καὶ ξανθὸν γένηται, ἐξαιρεθὲν παρατίθεται μέλιτος περιχυθέντος, ἢ ἀπὸ τοῦ ἑφθοῦ, ἢ ἀπὸ τοῦ ἄλλου. θρίον δὲ καλεῖται, ἀπὸ τῶν φύλλων τῆς συκῆς ἃ οὕτω καλοῦνται. ἄλλως. θρία τὰ φύλλα τῆς συκῆς. καὶ θρίον ἐστὶ σκεύασμά τι παρ᾽ Ἀθηναίοις, ὃ περιλαμβάνει ὕειον στέαρ καὶ G ἐρίφειον. καὶ σεμίδαλιν καὶ γάλα. καὶ λεκυθώδους ὠμὸν πρὸς τὸ πήγνυσθαι καὶ οὕτως εἰς φύλλα συκῆς ἐμβαλλόμενον, ἥδιστον ἀποτελεῖ βρῶμα. οὕτω Δίδυμος. ἐκαλεῖτο δὲ καὶ ἄλλη τὶς σκευασία θρίον ἐγκέφαλος μετ᾽ γάρου καὶ τυροῦ σκευαζόμενος καὶ ἑλισσόμενος ἐν φύλλοις συκῆς καὶ ὀπτώμενος. ἐπεὶ ἐπὶ φύλλων τὰ τεμάχη βαλλόμενα βαστάζονται. περὶ δὲ θρίου καὶ ἐν Βατράχοις εἴρηται ἐν τῷ, ἀλλ᾽ ἀπολέσαιμ᾽ ἂν ἐγκεφάλου θρίω δύο. Λάρος κεχηνώς.] τὸν Κλέωνα λέγει παρὰ τὸ ἁρπακτικόν. ἀπὸ τούτου δὲ ὡς κλέπτειν τὸν Κλέωνα διαβάλλει. καὶ ὁ λάρος γὰρ ζῶόν ἐστιν ἀδηφάγον. τὴν δὲ πέτραν, διὰ τὸ βῆμα τὸ ἐν τῇ πνυκί. Κλεωνύμου.] ὡς δαπανηρὸν καὶ ἐν τρυφῇ ζῶντα κωμῳδεῖ καὶ διαβάλλει τὸν Κλεώνυμον καὶ ἅρπαγα. εἰπὼν γὰρ λάρος, ἐπήνεγκε τὸν Κλεωνύμου. Παρ᾽ ἐμοῦ δὲ τουτονὶ λαβών.] δακτύλιον ἄλλον δίδωσι. καὶ ἔστι παρεπιγραφή. Μολγὸν γενέσθαι.] φαεινὸς, μολγὸν ἀντὶ τοῦ τυφλόν. Ἡρόδοτος δὲ ἱστορεῖ τούτους ἐπάνω τῆς Σκυθίας εἶναι. ἄλλως. πένητα παρὰ τὸ ἀμέλγεσθαι καὶ ζημιοῦσθαι. ἄλλως Σύμμαχος. ἔοικε χρησμός τις εἶναι. ἐν γὰρ τοῖς γεωργοῖς, οὕτως ἔχει. ὅτῳ δοκεῖ τοι δεῖν μάλιστα τῇ πόλει. ἐμοὶ μὲν ἐπὶ τὸν μολγὸν εἶναι οὐκ ἀκήκοας. Ἐρατοσθένης. μολγὸν καὶ ἀμολγὸν τὸν αὐτόν. ἀμολγοὺς δὲ παρὰ τούτοις φησὶ λέγεσθαι τοὺς ἀμέλγοντας τὰ κοινά. Ἡσίοδος δὲ, μᾶζα τ᾽ ἀμολγαίη. οἱ δὲ ἀντὶ τοῦ ἀκμαῖον. παρὰ δὲ τοῖς κωμικοῖς, μόλγης ὁ μοχθηρὸς ὥσπερ γόης. οὕτω Σωκράτης. ἄλλως. μολγόν τι-